## 23 NOIEMBRIE
## ANTONIOS MARKOU

# PARACLISUL SF.IERARH MITROFAN, EPISCOPUL VORONEJULUI

ATENA,2021


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# Παρακλητικός Κανών Ἁγίου Μητροφάνους, Ἐπισκόπου Βορονέζ

## Ποίημα Ἀντώνιος Μάρκου

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά παρόντα Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Τοῦ Βορονέζ τῷ σεπτῷ Ἀρχιθύτῃ,* τῷ τῶν θαυμάτων κοσμηθέντι τῇ χάριτι,* Μητροφάνει ἅπαντες προσπέσωμεν, πιστοί,* σπεῦσον, Πάτερ ἅγιε,* ἐκβοῶντες ἐν πίστει,* σήν θερμήν ἀντίληψιν* καταπέμπων μή παύῃς* καί τῷ Χριστῷ πρεσβεύειν, ἀγαθέ,* ἁμαρτανόντων* ἡ ὄντως διόρθωσις.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Τῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν,* οἱ τυραννούμενοι ἐχθροῦ δυναστείᾳ,* τῇ θεϊκῇ Σου σκέπασον ἀγάπῃ ἡμᾶς·* σπεῦσον, Κόρη, ῥύσασθαι* τῶν τοῦ Βελίαρ παγίδων,* ὁμοῦ τῷ Μητροφάνει τε* καί τῆς δαιμόνων μανίας·* οὗτος οὐ παύει γάρ αἰτεῖσθαι ὑπέρ ἡμῶν,* τῇ Σῇ πρεσβείᾳ,* Κυρίου τό ἔλεος.

Ὁ Ν΄ (50) Ψαλμός.

Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς ἐν τοῖς Θεοτοκίοις· *ΑΝΤΩΝΙΟΥ.*

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ταῖς θείαις λαμπόμενος ἀστραπαῖς,* Μητρόφανες Πάτερ,* φωτοφόροις σου τε εὐχαῖς,* παράσχου ἀκτῖνά μοι σοφίας,* ἀνευφημοῦντι σόν βίον καί θαύματα.

Νεκρώσας τὰ πάθη τὰ τῆς σαρκός* ἐζώωσας, Πάτερ,* τὰς δυνάμεις τὰς τῆς ψυχῆς·* διό καί νῦν ἡμᾶς τῶν τοῦ σαρκίου* ἐπαναστάσεων ἀγάπῃ ἀπάλλαξον.

Ὁ βίος σου ἄμωμος τῷ Θεῷ* ἔργοις ἐναρέτοις* καὶ ἀσκήσει θεοειδεῖ,* Μητρόφανες Πάτερ, καθωράθη·* διό τό φῶς τοῦ Λόγου πᾶσι ἀνάτειλον.

Θεοτοκίον.

Ἄνασσα Κόρη, ὑπερφυῶς,* τέτοκας τόν Λόγον* ὁμοούσιον τῷ Πατρί* καὶ Πνεύματι ἅμα· διὸ πάντες,* ὡς Θεοτόκον ἀεὶ μακαρίζομεν.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἐνασκήσας νομίμως* πᾶσαν ἰσχὺν ἤσχυνας* ἀρχεκάκου θηρός διαβόλου,* σεπτέ Μητρόφανες·* διὸ ἀπάλλαξον* πάσης φθορᾶς καὶ ἀνάγκης,* τοὺς τῇ προστασίᾳ σου* πιστῶς προστρέχοντας.

Ῥῶσιν πᾶσι παρέχει* καὶ φωτισμὸν, Ἅγιε,* καὶ ἁγιασμὸν τό σόν δέμας* ψυχῆς καὶ σώματος,* ὅ καταφεύγοντες* πάσης ἀνάγκης καὶ βλάβης* τάχος ἐκλυτρούμεθα* τῇ ἀντιλήψει σου.

Ὡς συντρίψας τὸ κράτος* τοῦ δυσμενοῦς, Ἅγιε,* οὕτω καθ’ ἡμῶν τὴν μανίαν* τούτου κατάβαλε,* δυνάμει

κρείττονι* καὶ ἐν εἰρήνῃ τελείᾳ* τὴν ζωὴν κυβέρνησον* ἡμῶν, Μητρόφανες.

Θεοτοκίον.

Νεῦσον, Κυρία Παρθένε,* ἡ τόν Κύριον τέξασα,* σπεῦσον νῦν καί λύτρωσαι πάντας* πασῶν ἐκ θλίψεων·* σύν σοί δέ φέρομεν,* πρός Κύριον πρεσβείαν,* Μητροφάνην ἔνδοξον,* Βορόνεζ καύχημα.

Διάσωσον* τοῦ Ἱεράρχου πρεσβείαις Παντελεῆμον,* ὅτι πάντες κατόπιν Σου αὐτῷ καταφεύγομεν,* ὡς ἔχοντι* τήν πρός Σέ παρρησίαν.

Ἐπίβλεψον* ἐπικαμπτόμενος Θεοτόκου* καί Μητροφάνους ταῖς λιταῖς Οἰκτῖρμον,* ἐφ' ἡμᾶς τούς ἀσθενεῖς* καί λύτρωσαι τόν λαόν Σου.

Κάθισμα. Ἦχος β'. Τά ἄνω ζητῶν.

Μητροφάνους τῇ πρεσβείᾳ νῦν προσπίπτομεν,* οἱ ἐν πόνοις ψυχῆς* καί θλίψεσι ὑπάρχοντες* καί δι' αὐτοῦ αἰτούμεθα* τό τοῦ Κυρίου ἄμετρον ἔλεος* καί τήν ταχεῖαν Τούτου συνδρομήν* κα ί τήν βεβαίαν Αὐτοῦ ἀντίληψιν.

ᾨδή δ'. Εἰσακήκοα, Κύριε.

Ἱκετήρια ᾄσματα,* Μητρόφανες θεῖε,* φαιδρῶς σοί ᾄδομεν·* καθικέτευε τὸν Κύριον,* ἵνα ἐλεήμονες γενώμεθα.

Ταπεινός καὶ φιλάδελφος,* Μητρόφανες Πάτερ,* ἀγάπης πρότυπον,* ἀνεδείχθης ἐν τοῖς ἔργοις σου·* διό ὁδήγησον ἡμᾶς πρὸς τήν τελείωσιν.

Μητροφάνη ἀνάδειξον* τὴν φιλανθρωπίαν τὴν θεοφίλητον,* ἐν τοῖς λόγοις καὶ τοῖς ἔργοις μου,* διά βίου, Πάτερ, μοί θεράπαιναν.

Θεοτοκίον.

Τῆς Μητρός Σου δεήσεσι,* Μητροφάνους τε θείου, Κύριε δώρησαι,* τοῖς ἱκέταις Σου τὴν ἄφεσιν,* τῶν πλημμελημάτων, Ὑπεράγαθε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Σκεῦος ἐκλεκτόν* γεγονός τοῦ θείου Πνεύματος,* ἐκ τῆς χάριτος μετάδος τῆς Αὐτοῦ* ταῖς ψυχαῖς ἡμῶν δεόμεθα, Μητρόφανες.

Ἴδε συμπαθῶς* τοὺς προσπίπτοντας λειψάνῳ σου* καὶ ἐκπλήρου τὰ αἰτήματα ἡμῶν,* θαυματόβρυτε Μητρόφανες μακάριε.

Ῥύπων ψυχικῶν* ἡμᾶς κάθαρον, Μητρόφανες,* ἐπομβρίαις τῶν θερμῶν σου πρεσβειῶν* καὶ ὀδύνας τὰς τοῦ σώματος θεράπευσον.

Θεοτοκίον.

Ὡραΐσόν με, Ἁγνή,* ταῖς ἀκτῖσι τοῦ προσώπου Σου,* τὸ καθαρὸν Χριστοῦ παλάτιον* καὶ καθορᾶν με τῆς μορφῆς Αὐτοῦ ἀξίωσον.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Σαρκός μου* νέκρωσον κίνημα ἅπαν* καὶ νοὸς τὰς ῥυπαρὰς ἐνθυμήσεις* παῦσον καὶ πόρρω ἀπέλασον, Πάτερ,* καὶ καθαρὰς τὰς αἰσθήσεις μου φύλαξον,* ὡς ἔχων παρὰ τοῦ Θεοῦ,* Μητροφάνη χάριν ὄντως ἐξαίρετον.

Μνημόνευσον* πάντων ἡμῶν Ἀρχιθύτα,* τῇ οὐρανίῳ ἱστάμενος Τραπέζῃ,* μέσον χοροῦ Ἱεραρχῶν καί Πατέρων,* τοῖς τῷ Κυρίῳ τόν αἶνον προσφέρουσι·* πρέσβυν γάρ σέ πρός Αὐτόν* ἐπιγραφόμεθα, Πάτερ θεσπέσιε.

Θαυματουργίαις* ἐνυπάρχων τῷ κόσμῳ* ἐπετέλεις ἐν τῇ θείᾳ δυνάμει·* πρὸς τόν Θεὸν δέ μεταστάς, Μητροφάνη,* θαυματουργεῖς ἡμᾶς ἰώμενος πάντοτε·* διό ἐλέει σου, σεπτέ,* πάντας ἐλέησον, Πάτερ θεσπέσιε.

Θεοτοκίον.

Νενίκημαι,* ὑπό παθῶν τῶν τοῦ βίου* τῶν ἀκαθάρτων, ἅ μολύνουσι, Μῆτερ,* τήν ἐν ἐμοί τοῦ Κυρίου εἰκόνα·* παρηγορίας πηγή παρηγόρησον,* τόν δάκρυσι καί στεναγμοῖς* κατατρυχόμενον, Κόρη Πανύμνητε.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Θείας ἀγάπης τὴν λαμπρὰν τοῖς πᾶσι σάλπιγγα,* φιλανθρωπίας τοῦ Θεοῦ τῷ κόσμῳ κήρυκα,* ἐπαινέσωμεν ἀξίως τόν Μητροφάνην·* τοῦ Κυρίου μαρτυρίαν τὸν βαστάσαντα* καὶ λαοῖς Αὐτόν κηρύξαντα τοῖς θαύμασι·* αὐτῷ κράζοντες·* χαίροις, Πάτερ Μητρόφανες.

Προκείμενον. *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ. *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ἰωάννην (Κεφ. ι΄ 1-9).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶν καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστιν τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει καὶ τὰ ἴδια πρόβατα φωνεῖ κατ' ὄνομα καὶ ἐξάγει αὐτά. Ὅταν τὰ ἴδια πάντα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασιν τὴν φωνὴν αὐτοῦ· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασιν τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ ᾿Ιησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν ὁ ᾿Ιησοῦς· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ κλέπται εἰσὶν καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με ὁ Θεός...*

Δεῦτε οἱ πιστοί,* τὸν ὡραϊσμένον ἐν κάλλεσι* τῆς καλλοποιοῦ ἀσκήσεως* Μητροφάνην εὐφημήσωμεν.* Οὗτος γάρ ὡς λαμπρὸς ἀστὴρ* ἀνέτειλεν ἐν τῷ τῆς Ἐκκλησίας στερέωματι* καὶ θείοις ἀγῶσι ἀφθαρσίαν προσεκτήσατο·* καὶ νῦν αὐλίζει ἐν οὐρανῷ,* τοῖς ἄνω γηθόμενος χορείαις τῶν Ἁγίων,* μεθ' ὧν πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Πύργον ἄσειστον, Πάτερ,* καί ἑδραίωμα θεῖον καί καταφύγιον* τό σόν ἄφθαρτον δέμας* κατέχοντες βοῶμεν,* μή ἐπιλάθῃ τῶν αἰτούντων βοήθειαν* καί ἔλεος, θεῖε Μητρόφανες.

Ἐκ δεινῆς ῥαθυμίας* καί παθῶν τυῤαννίδος ἡμᾶς ἀπάλλαξον* καί δίδου εὐθυπόρως* τήν τρῖβον βηματίζειν* ἐντολῶν τοῦ Θεοῦ ἡμῶν,* ὡς ἄν τῆς ἄνω ζωῆς ἐπιτύχωμεν.

Ῥῦσαι ἀπό κινδύνων* τῶν νῦν ἐπερχομένων,* ἐφ' ἡμᾶς τούς ἀνιάτως νοσήσαντας·* σεπτῆς Ῥωσίας κλέος,* Βορονέζ πολιοῦχε,* ὁ φιλαδέλφως δεόμενος πάντοτε.

Θεοτοκίον.

Ἴασιν δώρησαι μοι,* ὡς καί παρηγορίαν,* τῶν προστρεχόντων Σοι πίστει ἡ πρόμαχος·* Σοί γάρ προσπίπτω κράζων·* μνήσθητι τοῦ λαοῦ Σου·* Σύ πρόφθασον, Δέσποινα.

Ὠδὴ η'. Τὸν Βασιλέα.

Ἐν οὐρανίῳ,* ὦ Μητρόφανες, θρόνῳ* τὸν Χριστὸν σὺν Ἀγγέλοις γεραίρων,* μνήσθητι σῶν δούλων* καί ἱκετῶν σου, Πάτερ. _

Ὑπὸ τὴν σκέπην* ὁ Μητροφάνης τῆς Κόρης* ὑπέμεινε δαιμόνων τήν μανίαν,* ἐξ ἧς ἡμᾶς φυλάττει* ἀτρώτους ταῖς εὐχαῖς του.

Χαῖρε Βορόνεζ* πανευκλεές Ἱεράρχα* Μητροφάνη Ποιμένων ὁ κόσμος,* ἡμᾶς τούς σέ ὑμνοῦντας* ποίμανων σῇ πρεσβείᾳ.

Θεοτοκίον.

Ὅρμησον πάντας,* Παρηγορήτισσα Κόρη,* παρηγορίᾳ τῇ Σῇ ἐν οὐρανίῳ ὅρμῳ* γαλήνης διαρκοῦς,* πρεσβείαις πρός Υἱόν Σου.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Θαυματουργίας χάριν* δαψιλῶς παρέχεις* τοῖς τρυχομένοις ποικίλοις νοσήμασι,* ὢ Μητρόφανες,* Βορόνεζ τὸ καύχημα.

Ὡς ἔχων παρρησίαν,* Πάτερ Μητροφάνη,* πρὸς τὸν Σωτῆρα Χριστὸν καθικέτευε,* τοὺς σὲ τιμῶντας ῥυσθῆναι* ἐκ πάσης θλίψεως.

Τήν δέησιν προσδέχου* καὶ ταῖς σαῖς πρεσβείαις* τοῦ αἰωνίου πυρός με ἐξάρπασον,* θαυματουργὲ Μητροφάνη,* τὸν σὲ ὑμνήσαντα.

Θεοτοκίον.

Ὑπέρ τῶν Σέ ὑμνούντων* μή παύῃ, Θεοτόκε,* τοῦ ἱκετεύειν ἐλέους τόν Πρύτανην,* τοῦ ἐλεῆσαι καί σῶσαι τούς δούλους Σου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,*
μακαρίζειν Σε τήν Θεοτόκον,*
τήν ἀειμακάριστον καί παναμώμητον* καί μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τήν τιμιωτέραν
τῶν Χερουβείμ* καί ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σερα φείμ,* τήν ἀδιαφθόρως* Θεόν Λόγον τεκοῦσαν,* τήν ὄντως Θεοτόκον* Σέ μεγαλύνομεν.

Μεγαλυνάρια.

Χαίροις, τοῦ ποιμνίου ὁ φροντιστής,* ὁ τοῦ Παρακλήτου* διαλάμψας θείῳ φωτί*· χαίροις, ὁ Ῥωσίας* γόνος καί τοῦ Βορόνεζ* ἅς περισκέπεις, Πάτερ,* πτέρυξι χάριτος.

Δέχου ἱκετήριον νῦν ᾠδήν,* ἔπειδε ἐπί πόνον* καί ἐπί ἄλγος ἐμῆς ψυχῆς* καί ῥύου τῆς γεέννης καί δεινοτάτου ἐρέβους,* φωτίζων σαῖς ἀκτῖσι* τόν σέ ὑμνήσαντα.

Ἔπειδε, θειότατε, ἱλαρῶς* ἐπί τούς δεομένους* ἀντιλήψεως, Πάτερ, σῆς* καί ῥῦσαι ἀπό κινδύνων καί πάσης δυσπραγίας* τούς ἐπικαλουμένους σόν θεῖον ὄνομα.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες* μετά τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν* εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς,* πάσης γάρ ἀπολογίας ἀποροῦντες,* ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ,* οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς,* ἐπί Σοί γάρ πεποίθαμεν.* Μή ὀργισθῇς ἡμῖν σφόδρα,* μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν.* Ἀλλ’

ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος* καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.*
Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου,*
πάντες ἔργα χειρῶν Σου* καί τό ὄνομά Σου ἐπικεκλήμ εθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν,*
εὐλογημένη Θεοτόκε,*
ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσωμεν,*
ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·*
Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἀπόλυσις. Τῶν δέ Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα τοῦ Ἁγίου καί χρ ιομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Πόθῳ τούς προσφεύγοντας πιστῶς* καί ἐπικαλουμένους πρεσβείαν* τήν σήν, Μητρόφανες,* ῥύου πάσης θλίψεως καί περιστάσεως·* ἐκ κινδύνων ἀπάλλαξον,* τούς τῆς πανδημίας* ἐκ τοῦ κορωνοϊοῦ* τῆς νῦν τρυχούσης ἡμᾶς·* σύ γάρ ἐν Ῥωσίᾳ ὑπάρχεις,* ὁ τοῦ Βορονέζ Ἀρχιθύτης,* πάντων τῶν πιστῶν σεπτόν ἐντρύφημα.

Δέσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλων Σου* καί λύτρωσαι ἡμᾶς,* ἀπό πάσης ἀνάγκης και θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου,* εἰς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπό τήν σκέπην Σου.

Στίχοι·

*Ἁγίαις σου εὐχαῖς τείχισον τόν ὑμνοῦντα,*

*τήν σήν βιοτήν, Βορονέζ Ποιμενάρχα,*

*Μητρόφανες σεπτέ, θαυματουργέ, Ῥωσίας*

*Ἁγίας τῆς ποτέ τό κλέος καί ἡ δόξα.*

